www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΤΗΣ ΕΝ ΚΥΠΡΩι ΤΑΜΑΣΟΥ

(ἑορταζομένων τῷ Σαββάτῳ πρὸ τῆς Β΄ Κυριακῆς τοῦ Ὀκτωβρίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* 2003 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





## ΤΩι ΣΑΒΒΑΤΩι ΠΡΟ ΤΗΣ Β' ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΟΚΤΩΒΡΙΟΥ
## Η ΣΥΝΑΞΙΣ ΤΩΝ ΕΝ ΤΑΜΑΣΩι ΑΓΙΩΝ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχους Ϛ' καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια.*

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Βαρνάβα, Παῦλε καὶ Μάρκε,
Χριστοῦ ἀπόστολοι,
εὐφραίνεσθε ὁρῶντες,
τοὺς καρποὺς τῶν ἀγώνων,
οὓς σύντρεις ἐν τῇ Κύπρῳ θεοφιλῶς,
καθυπέστητε σπείροντες,
Εὐαγγελίου τὸν λόγον καὶ τὸν λαόν,
πρὸς εὐσέβειαν ἑλκύσαντες.

Τοῦ φιλανθρώπου Δεσπότου,
δοῦλοι ὑπάρχοντες,
Ἀπόστολοι οἱ θεῖοι,
τῷ ἀγκίστρῳ τοῦ λόγου,
ἐκ πλάνης τῶν εἰδώλων ὡς ἀπαρχήν,
πολυτίμητον ἤγρευσαν,
τῷ Ἰησοῦ Ἡρακλείδιον τὸν κλεινόν,
Ταμασέων πρωτεπίσκοπον.

Χριστοῦ τὴν χάριν ἡδέως,
ἀποδεξάμενοι,
ὁ Μνάσων τε καὶ Ῥόδων,
ὡς φωσφόροι κομῆται,
ἐφώτισαν τὴν πόλιν τῆς Ταμασοῦ,
ὁ δὲ θεῖος Θεόδωρος,
ἐν ἀκροτάτῃ ἀσκήσει πολιτευθείς,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

στηριγμὸς πιστῶν γεγένηται.

Μύρον εὐῶδες ὁ Μύρων,
ἀναδειχθεὶς τοῦ Χριστοῦ,
ἐξέχεε τὸ αἷμα,
ἑαυτοῦ φιλοθέως·
τὴν φλόγα δὲ εἰδώλων ᾿Αριστοκλῆς,
μαρτυρήσας κατέσβεσεν,
καὶ τὸ Πανάγιον Πνεῦμα Θεὸν τρανῶς,
θεῖος Τύχων ἀνεκήρυξεν.

Χριστοῦ ὑπόστασιν μίαν,
ὁ ᾿Επαφρόδιτος,
καὶ φύσεις ἀσυγχύτους,
ὑπεστήριξε δύο·
Βασίλειος δὲ πάλιν θεῖος ποιμήν,
Ταμασοῦ ἀναδέδεικται,
τῇ ἀφθαρσίᾳ λειψάνου παρὰ Χριστοῦ,
τιμηθεὶς ὁ ἁγιώτατος.

Μακεδονίου ἀγάπην,
πρὸς ᾿Εκκλησίαν Χριστοῦ,
τοῦ Δημητριανοῦ δέ,
τὴν σοφὴν ποιμανσίαν,
καὶ Νείλου πρωτοθρόνου τὰς ἀρετάς,
ἀνυμνοῦντες βοήσωμεν·
ὑπὲρ ἡμῶν, ὦ Πατέρες, τὸν ᾿Αγαθόν,
ἐκτενῶς καθικετεύσατε.

*Δόξα. Ἦχος πλ.β΄.*

Φωτὶ τῆς γνώσεως τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ,
τὰς ψυχὰς ἀποστολικῶς κατελλαμφθέντες,
τῆς Ταμασοῦ οἱ Ἅγιοι,
ὡς δεύτερα φῶτα πιστοὺς κατεφώτισαν,
τὴν ψυχοφθόρον πλάνην τῶν ματαίων εἰδώλων,
ἐντεῦθεν νουνεχῶς ἐκῤῥιζώσαντες,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



καὶ τὴν Ὀρθοδοξίαν ἀκλινῶς διακηρύξαντες.
Τῇ σκιᾷ δὲ τοῦ Σταυροῦ ἐνδυναμούμενοι,
καὶ μαρτυρικὸν τὸ φρόνημα κεκτημένοι,
κατεπλούτισαν τὴν Ἐκκλησίαν,
ἐν ἁγιασμῷ ὁλοτελεῖ βιώσαντες.
Ὅθεν σήμερον τὴν μνήμην αὐτῶν ἑορτάζοντες,
ἱκετικῶς κραυγάζομεν·
Ἅγιοι ἡμῶν οἰκειότατοι καὶ φιλότεκνοι,
πρεσβεύσατε, τῷ Φιλανθρώπῳ Θεῷ,
ὅπως δῷ τοῖς τιμῶσιν ὑμᾶς,
ἁγιασμὸν καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τὸ Θεοτοκίον τοῦ ἤχου τῆς ἑβδομάδος.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον, Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*
*(γ΄ 1 - 9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*
*(ε΄15 - στ΄ 3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῶν καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(δ΄ 7 - 15)*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ**

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*

*Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ ἡ ἁγιότεκνος τῆς Ταμασοῦ ἐπισκοπή·
τῇ ἀποστολικῇ γὰρ σποροδοσίᾳ,

ἐβλάστησεν ἡ γῆ σου σμῆνος ἀνδρῶν τοῦ Πνεύματος,
ποιμένας τε χριστοψύχους καὶ μαρτυρικῷ τέλει καταστεφθέντας,
οἵτινες πολυτρόπως ἐστήριξαν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ.
Ὅθεν σήμερον τὴν σύναξιν αὐτῶν ἑορτάζουσα,
ὡς ἡ καλλίτεκνος Ἄννα τῷ Κυρίῳ βόησον·
ἐστερεώθη ἡ καρδία μου ὁ Θεός,
ὁ ἀναδείξας ἐκ τῶν σπλάγχνων μου τοὺς Ἁγίους σουπ

*Ἦχος β'.*

Τὴν γονικὴν θεοσέβειαν τοῦ Ἡρακλειδίου κατιδόντες,
οἱ τοῦ Κυρίου Ἀπόστολοι,
ἐκ τῆς πεπλανημένης ὁδοῦ τοῦτον μετέστρεψαν,
καὶ ἐξ ἀγριελαίου εἰς καλλιέλαιον μετενεκέντρισαν.
Οὗτος γὰρ ὁ θεοφιλέστατος ἀνήρ,
ἀπαρχὴ τῶν χριστωνύμων ἐν Ταμασοῦ ἀναδέδεικται,
ἀλλὰ καὶ πρῶτος αὐτῆς ποιμενάρχης χρηματίσας,
ὡς ἐπίσημος κριὸς τοῦ Πνεύματος,
τὴν ποίμνην εἰς Χριστὸν λόγοις καὶ θαύμασι καθωδήγησεν.
Αὐτοῦ καὶ ἡμεῖς τέκνα ταπεινὰ ὑπάρχοντες,
ἐκ ψυχῆς ἀναβοῶμεν·
φύλαττε καὶ αὔξει, θεῖε Πάτερ,
εὐχητικῶς τὴν κληρουχίαν σου.

*Ἦχος γ'.*

Τὴν ἀποστολικὴν πίστιν ὡς ἐκ Θεοῦ παραλαβόντες,
ἀγρύπνοις ποιμανσίαις καλῶς διεφυλάξατε,
τῆς Ταμασοῦ οἱ θεοφιλέστατοι ἐπίσκοποι.
Μαρτυρικοῖς τε αἵμασι καὶ ἱδρῶσιν ἀσκήσεως,
καταποτίσαντες τὸ δένδρον τῆς Ἐκκλησίας,
ηὐξήσατε τοῦτο ὡς Κυρίου νυμφοδωρίαν.
Ὅθεν ἐν Χριστῷ νῦν εὐφραινόμενοι,
μνήσθητε ὡς φιλότεκνοι τῶν ἐν ὕμνοις τιμώντων ὑμᾶς.

*Ἦχος δ'.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν γνησιότητα τῆς πρὸς Κύριον ἀγάπης ἐνδεικνύμενοι,
ὅλον τὸν βίον ὑμῶν μαρτυρικῶς ἐβαδίσατε,
τῆς Ταμασοῦ θεόφρονες ἱεράρχαι·
Οὕτω γὰρ παρεστήσατε ἁγνὰς τῷ Θεῷ,
τὰς ὑμῖν παραδοθείσας ψυχάς,
ἐν αἷς Ἀριστοκλῆς ὁ γενναιόψυχος μάρτυς.
Πάντες οὖν συναχθέντες εἰς τὴν ἀποθήκην τοῦ Θεοῦ,
μνήσθητε καὶ ἡμῶν,
τῶν κατὰ σάρκα καὶ πνεῦμα τέκνων καὶ κληρονόμων,
ὅπως μετάσχωμεν τῆς ἧς ὑμεῖς ἀπολαύετε μακαριότητος.

*Δόξα. Ἦχος πλ.α΄.*

Τὸν Ἰησοῦν ὑπὲρ ἑαυτοὺς ἀγαπήσαντες,
καὶ τῇ θεότητι Αὐτοῦ πιστεύσαντες,
ἐν ἐλπίδι τῶν μελλόντων ἀγαθῶν,
τὸν σταυρὸν τοῦ Εὐαγγελίου ἀνελάβετε προθύμως,
τῆς Ταμασοῦ οἱ ἅγιοι.
Λόγοις γὰρ φωτίσαντες τῶν πιστῶν τὰς ψυχάς,
καὶ αἵμασι μαρτυρίου ποτίσαντες τὸ δένδρον τῆς Ἐκκλησίας,
ἐκαρποφορήσατε εἰς ἑκατὸν τῷ Δεσπότῃ Χριστῷ.
Ὅθεν σήμερον τὴν σύναξιν ὑμῶν χρεωστικῶς ἑορτάζοντας,
οὐρανόθεν εὐλογήσατε ἡμᾶς,
τηροῦντες ἐν ἑνότητι πίστεως
καὶ χαριζόμενοι τὸ μέγα τοῦ Δεσπότου ἔλεος.

*Καὶ νῦν. Μακαρίζομέν σε.*

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

*Στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν*

Χαίροις, Ἐπισκοπὴ Ταμασοῦ,
ἡ ἐκβλαστήσασα πληθὺν ἁγιώνυμον,
τοῦ Παύλου καὶ τοῦ Βαρνάβα,
θεοκαρπίαν λαμπράν,
Ἐκκλησίαν Κύπρου κατευφραίνουσαν·



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

κλεινὸν Ἡρακλείδιον,
Μνάσωνά τε καὶ Ῥόδωνα,
σὺν Θεοδώρῳ,
εὐωδέστατον Μύρωνα,
θεῖον Τύχωνα,
καὶ σεπτὸν Μακεδόνιον,
ἔτι τὸν Δημητριανόν,
σοφὸν Ἐπαφρόδιτον,
σὺν Βασιλείῳ τῷ πάνυ,
Νεῖλον κληθέντα πρωτόθρονον·
ὧν νῦν κοινὴν μνήμην,
ἑορτάζοντες ἐν πόθῳ,
Χριστὸν δοξάζομεν.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Πλάνην εἰδωλικὴν κραταιῶς,
τῆς Ταμασοῦ ἀποδιώξαντες, Ἅγιοι,
τὸ φῶς τοῦ Εὐαγγελίου,
μαρτυρικαῖς ἀγωγαῖς,
ἐν αὐτῇ μονίμως κατεπήξατε·
Χριστοῦ τὴν ἀγάπησιν,
καὶ λατρείαν διδάσκοντες,
ὡς μόνου ὄντως,
τὴν θεότητα ἔχοντος,
καὶ τὴν θέωσιν,
χριστωνύμοις παρέχοντος.
Οὕτω καὶ ὁ χριστόψυχος,
ἀνὴρ κατεπίστευσεν,
Ἀριστοκλῆς μαρτυρήσας,
πατρῴας γῆς μέγα καύχημα.
Μεθ᾽ οὗ τὸν Δεσπότην,
ἱκετεύσατε δοθῆναι,
ἡμῖν τὸ ἔλεος.

*Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Βίους καταλιπόντες ὑμῶν,
ὡς Εὐαγγέλια σαφῆ τε καὶ ἔμπρακτα,
τοῖς τέκνοις κληρονομίαν,
ὑπὲρ χρυσίου πληθύν,
μιμητὰς ἀξίους ἡμᾶς δείξατε,
ψυχαῖς ἐμφυτεύοντες,
τὴν ἀγάπην πρὸς Κύριον,
καὶ θεῖον μῖσος,
πρὸς παθῶν τὰ ἰνδάλματα,
ὅπως τύχωμεν,
μακαρίας καθάρσεως,
καὶ τῆς χαρᾶς μετάσχωμεν,
ἧς νῦν κατεμπίπλασθε,
ἐν Παραδείσῳ ὁρῶντες,
τὸ γλυκυπόθητον πρόσωπον,
Χριστοῦ Ὃν ἀπαύστως,
Ταμασοῦ ἅγιοι πάντες,
καθικετεύσατε.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Εὐαγγελίου Κυρίου διδασκάλους καὶ πληρωτάς,
τῶν δὲ γηΐνων ἔμφρονας καταπατητάς,
ἐπιγινώσκοντες ὑμᾶς, Ἅγιοι τῆς Ταμασοῦ,
τὸν θεῖον ἔρωτα ὑπανάπτομεν,
καὶ ὧδε παροικοῦντες,
τὴν ἐπουράνιον πατρίδα ὁλοψύχως ἀπεκδεχόμεθα,
ἧς ὑμεῖς πολῖται τίμιοι καὶ συλλειτουργοὶ ἀγγέλων ἐγεγόνατε.
Ὅθεν, δεόμεθα· καθάρατε ἡμᾶς τῶν ἐπιμέμπτων παθῶν,
καὶ θεοπρεπῶς βιοῦν καταξιοῦντες,
χαρίσασθε ἡμῖν ὡς δῶρον πατρικόν,
τὸν ὑπερποθητὸν Παράδεισον.

*Καὶ νῦν. Θεοτοκίον, ἦχος ὁ αὐτός.*
*Μακαρίζομέν σε, Θεοτόκε Παρθένε.*

*Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Τοῦ Βαρνάβα καὶ Παύλου,
θεοφύτευτος ἄμπελος,
τῆς Ἐπισκοπῆς Ταμασέων,
φιλοθέως ἐβλάστησεν,
Ἁγίων χριστοκάρδιον πληθύν,
ἧς πρῶτος Ἡρακλείδιος σεπτός·
ὧν θαυμάζοντες τοὺς βίους ἀπὸ ψυχῆς,
Κυρίῳ ἀνακράζομεν·
Δόξα σοι, Δέσποτα Θεέ,
Ὅστις μεσίτας δέδωκας,
τούτους ὧν σύναξιν λαμπρῶς,
ὡς τέκνα ἑορτάζομεν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Εἰς τὴν α' στιχολογίαν.*
*Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.*

Χριστοῦ σε ἀπαρχήν,
νήσου Κύπρου εἰδότες,
καὶ ποίμνης Ταμασοῦ,
ἱεράρχην τε πρῶτον,
σοφὲ Ἡρακλείδιε,
σοῦ δεόμεθα κράζοντες·
χεῖρας αἴρετε,
σὺν τοῖς σεπτοῖς διαδόχοις,
θείου θρόνου σου,
πρὸς τὸν Θεὸν καὶ Δεσπότην,
ὑπὲρ τῶν τιμώντων ὑμᾶς.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Παρθένε ἀγαθή,
νῆσον σκέπασον Κύπρου,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τιμῶσαν πολλαχῶς,
τὸ σεπτὸν πρόσωπόν σου,
καὶ πλῆθος κατέχουσαν,
ἱερῶν μορφωμάτων σου,
οἷς προστρέχουσα,
χάριν πλουσίαν εὑρίσκει,
τὴν πηγάζουσαν,
ἐκ σῆς θερμῆς ἱκεσίας,
πρὸς τὸν Ὑπεράγαθον.

*Εἰς τὴν β' στιχολογίαν. Κάθισμα.*
*Ἦχος γ'. Τὴν ὡραιότητα.*

Τῆς Ταμασοῦ καλῶς,
ἐπισκοπεύσαντες,
οἱ μὲν καὶ μάρτυρες,
αἵματος ὤφθητε,
ἕτεροι δὲ ἀσκητικοῖς,
διήλθετε ἐν ἱδρῶσιν·
πάντες ἐσφραγίσατε,
τὴν ἀγάπην πρὸς Κύριον,
Ὃν μὴ διαλίπητε,
ἱκετεύειν δεόμεθα,
σφαλμάτων ἡμῖν δοῦναι τὴν λύσιν,
καὶ σωτηρίαν τὴν αἰώνιον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Πάντοθεν βέλεσιν,
ἐκπολεμούμενοι,
καὶ ἄλλην σύμμαχον,
Μῆτερ, μὴ ἔχοντες,
πρὸς σὲ ὡς τέκνα ταπεινά,
προστρέχομεν τοῦ σωθῆναι·
ἔχεις γὰρ ἀήττητον,
τῆς πρεσβείας τὸ χάρισμα,
πρὸς τὸν ἐξ αἱμάτων σου,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σαρκωθέντα Φιλάνθρωπον,
Δεσπότην καὶ Σωτῆρα τοῦ κόσμου,
Οὗ τὴν θεότητα δοξάζομεν.

*Ὁ Πολυέλεος, εἶτα Κάθισμα.*
*Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τεθλιμμένην βαδίσαντες τοῦ Σταυροῦ,
τὴν ὁδὸν πάντες, Ἅγιοι Ταμασοῦ,
ἡμῖν ἐγεγόνατε,
ἁγιότητος κήρυκες,
καὶ τῆς πρὸς Δεσπότην,
ἀγάπης διδάσκαλοι,
τῶν αἱμάτων χύσει ,
καὶ ἄθλοις ἀσκήσεως·
ὅθεν νῦν εὑρόντες,
βασιλείας λιμένα,
θερμῶς ἱκετεύσατε,
τὸν Δεσπότην, δεόμεθα,
ὑπὲρ Κύπρου, μακάριοι,
καὶ τῶν ἐν αὐτῇ εὐσεβῶς,
χριστωνύμων πάντων, ὅπως τύχωσιν,
Παραδείσου τοῦ θείου,
ἐν ὥρᾳ τῆς κρίσεως.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Μέλη ὄντες τοῦ Σώματος τοῦ Χριστοῦ,
εἰ καὶ ζῶμεν, Πανάμωμε, ἀμελῶς,
τὴν χάριν αἰτούμεθα,
διὰ σοῦ θείου Πνεύματος,
ὅπως λυτρωθῶμεν,
παγίδων τοῦ ὄφεως,
καὶ ἐν σωφροσύνῃ τὸν βίον τελέσωμεν·
ὅτι ἐπὶ θύραις ὁ Νυμφίος εἰστήκει,
καὶ ὥρα ἡ ἄφευκτος,
τοῦ θανάτου ἐπέρχεται,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐν ᾗ πάντας ἀξίωσον,
ἐνδύματα φορεῖν καθαρά,
καὶ τοῦ δείπνου,
μετασχεῖν, Θεόνυμφε,
σὺν χοροῖς τῶν ἁγίων,
ὧν πρώτη Σὺ πέφυκας.

*Οἱ Ἀναβαθμοὶ , τὸ α᾽ ἀντίφωνον τοῦ δ΄ἤχου·* Ἐκ νεότητός μου.
*Προκείμενον.* Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.
*Στίχ.* Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

**Εὐαγγέλιον·** *Εἶπεν ὁ Κύριος· ᾿ Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή... (βλ.τῇ β΄Σεπτεμβρίου) .*

*Ὁ Ν΄. Ἐλέησόν με ὁ Θεός....*

*Δόξα.* Ταῖς τῶν σῶν Ἁγίων.
*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

*καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.β.*
*Στίχ. Ἐλέησόν με ὁ Θεός....*
Σήμερον ἡ Ταμασέων ἐπισκοπή,
λαμπρῶς τιμῶσα τοὺς ἐν αὐτῇ ἁγιάσαντας,
ἱεράρχας καὶ μάρτυρας,
τοὺς φιλαγίους συγκαλεῖται λέγουσα·
Δεῦτε πάντες σὺν ἐμοὶ ὑψώσωμεν τὸν Δεσπότην,
τὸν ὑπερμέτρως μεγαλύναντα τὴν δόξαν μου,
ἐν τῇ πληθύϊ τῶν Ἁγίων μου.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.*

***Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:***
*"Ἁγίων τῶν ἐν Ταμασῷ πληθὺν ἀνευφημήσω. Ἀ(θανάσιος)".*
*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην φαραώ.*

Ἁγιοστέπτων τὴν πληθὺν τιμήσωμεν,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐπισκοπῆς Ταμασοῦ,
τοὺς ἐπεγνωσμένους
καὶ ἀγνώστους μένοντας,
αἰτούμενοι συγχώρησιν,
ἐκ Τριάδος Ἁγίας,
ὧν καθ᾽ ἑκάστην οἱ τάλανες,
ὡς ἁμαρτωλοὶ διαπράττομεν.

Γῆν ἀγαθὴν οἱ ἱεροὶ Ἀπόστολοι,
τὴν σὴν εὑρόντες ψυχήν,
τοῦ Εὐαγγελίου,
σπόρον ἐγκατέβαλον,
ὃς ἑκατονταπλάσια,
τὸν καρπὸν ἐδεδώκει,
ὦ Ἡρακλείδιε μέγιστε,
Ταμασοῦ ποιμὴν θεοφώτιστε.

Ἱερωσύνης διπλοΐδα ἔκλαμπρον,
λαβὼν ὡς δῶρον Θεοῦ,
πλάνην τῶν εἰδώλων,
Ταμασοῦ ἐδίωξας,
καὶ θαύμασι τετίμησαι,
καὶ σημείοις ποικίλοις,
δι᾽ ὧν Κυρίῳ προσήγαγες,
πλήθη τῶν πιστῶν, Ἡρακλείδιε.

*Θεοτοκίον*

Ὡς παρθενίας τὸν ἡμῶν Διδάσκαλον,
ἀποτεκοῦσα, Σεμνή,
τῆς ἡδυπαθείας,
τοὺς θεοὺς ἐδίωξας,
τῆς Κύπρου καὶ ἀπέδειξας,
ταύτην ποίμνην Κυρίου,
συνεργησάντων τῇ Χάριτι,
τῶν Ἁγίων οὕς περ δοξάζομεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Νοῦν Χριστοῦ ἔχων, Μνάσων,
τῶν γεηρῶν ἔφυγες,
καὶ Ἡρακλειδίῳ τῷ πάνυ,
ὡς διδασκάλῳ σου,
σοφῶς ᾠκείωσαι,
μεθ᾽ οὗ καλῶς συναθλήσας,
εἶτα καὶ διάδοχος,
θρόνου γεγένησαι.

Τῇ ἀσκήσει ἐκλάμψας,
ἀρχιερεῦ τίμιε,
ποίμνην Ταμασοῦ πρὸς λιμένας,
Θεοῦ ὡδήγησας·
διό, Θεόδωρε,
ἐκ τοῦ Δεσπότου δικαίως,
τὸν μισθὸν ἀπείληφας,
οἰκονομίας σου.

Ὥσπερ ῥόδον εὐῶδες,
ἐξ ἀρετῶν, ἅγιε,
Ῥόδων, τοὺς πιστοὺς τῆς σῆς ποίμνης,
κατευωδίασας,
καὶ βίους ἄριστα,
σῶν προκατόχων συγγράψας,
τούτους ὡς κειμήλια,
ἡμῖν κατέλιπες.

*Θεοτοκίον*

Νικησάτω, ὦ Μῆτερ,
τοὺς πονηροὺς δαίμονας,
κλῆσις σοῦ ὀνόματος θείου,
ὅπερ ἀκούοντες,
καταφλογίζονται,
καὶ βέλη τούτων πυρφόρα,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

αὖθις κατασβέννυνται,
εὐχῶν σου ὕδατι.

*Εἶτα Κάθισμα.*
*Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Εὐχὰς ὑμῶν ἔχοντες,
τὰς πατρικὰς ἀδεῶς,
χωροῦμεν, ὦ Ἅγιοι,
τῆς Ταμασοῦ, πρὸς ὁδόν,
ἀνάντη ἀσκήσεως·
πόλιν ἐπιποθοῦντες,
καὶ πατρίδα τὴν ἄνω,
ἧς περ ὑμεῖς πολῖται,
ἀνεδείχθητε ἄθλοις,
Χριστοῦ καταφλεχθέντες τῷ πυρί,
τῆς ἀγαπήσεως.

*Δόξα. καὶ νῦν.*
*Θεοτοκίον. Ὅμοιον.*

Κυρία Πανάμωμε,
Χριστιανῶν ἡ ἐλπίς,
ψυχὰς διαφύλαξον,
τῶν σὲ τιμώντων πιστῶς,
καὶ ταύτας προσάγαγε,
ὥρᾳ ἐν τῇ ἐσχάτῃ,
σῷ Υἱῷ καὶ Δεσπότῃ,
ὅτι πολὺ ἰσχύει,
μητρική σου πρεσβεία,
ἐφ᾽ ἣν καὶ στηριζόμεθα,
ἐν βίου κλύδωνι.

*᾿Ωιδὴ δ'. Σύ μου ἰσχύς, Κύριε.*

'Εκ τοῦ Θεοῦ κέχυται,
μύρον πολύτιμον,

κεφαλῇ σου, Μύρων ἁγιώτατε,
καὶ Ἀαρὼν ὤφθης Ταμασοῦ,
ὑπὲρ ταύτης αἴρων,
νυχθημερὸν θείας χεῖράς σου·
καὶ μυστικῶς προσφέρων,
τὴν ἁγίαν θυσίαν,
σεαυτὸν καὶ πιστοὺς καθηγίασας.

Νικητικὸν στέφανον,
ἐκ θείων ἄθλων σου,
Ἀριστόκλεις, εἴληφας καὶ τέταξαι,
ἐν τῷ χορῷ τῷ μαρτυρικῷ,
κλέος σῆς πατρίδος,
τῆς ἐπὶ γῆς μέγιστον,
ἐν δὲ τῇ οὐρανίῳ,
πρεσβευτὴς καὶ εὐχέτης,
νήσου Κύπρου καὶ πάντων τιμώντων σε.

Τύχων τυχὼν χάριτος,
Ἁγίου Πνεύματος,
Τοῦτο ἴσον,
τῷ Πατρὶ ἐκήρυξας καὶ τῷ Υἱῷ,
θείας μετασχών,
καὶ σεπτῆς Συνόδου,
Βασιλευούσης καὶ γέγονας,
Ὀρθοδοξίας στύλος,
Ταμασοῦ Χριστοῦ ποίμνην,
ἐν ἁγίοις ἐκτρέφων διδάγμασιν.

*Θεοτοκίον*

Ἀληθινὸν δεῖξόν με,
Μῆτερ Πανάμωμε,
τοῦ Δεσπότου,
μαθητὴν καὶ πράττοντα τὰς ἐντολάς,
Τούτου τὰς σεπτάς,
ὅπως ἐπιτύχω,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῆς γλυκυτάτης θεώσεως,
ἣν πλάνῃ διαβόλου,
ὑπαχθεὶς κινδυνεύω,
ἀπωλέσαι ὡς ἄνους ὁ δοῦλός σου.

Ὠιδὴ ε΄. Ἱνατί με ἀπώσω.

Μιμητὴς Ἀποστόλων,
πάτερ Ἐπαφρόδιτε, ἐναποδέδειξαι,
φύσεων τῶν δύο,
ἀσυγχύτων Χριστοῦ ὡς ὑπέρμαχος,
σύμφωνος Συνόδῳ,
τῇ ἐν Ἐφέσῳ συνελθούσῃ,
γεγονὼς Ταμασοῦ ὢν ἐπίσκοπος.

Ἀδιάφθορον μεῖναν,
λείψανόν σου χρόνῳ, ἅγιε Βασίλειε,
ἐκβοᾷ ἀγλώττως,
τὸν ἁγνὸν καὶ ὑπέρθεον βίον σου,
ὃν ἐπολιτεύσω,
ἐν Ταμασῷ ἐπισκοπεύσας,
ἀντιγράψας κλεινοὺς προκατόχους σου.

Σὺ ἐκ βρέφους εἰσέτι,
Δημητριανέ, Χριστὸν ἠγάπησας,
καὶ φιλαδελφίᾳ,
τῶν προβάτων Αὐτοῦ ποιμὴν γέγονας,
Ταμασεῖς διδάξας,
πῶς δεῖ πορεύεσθαι ἐν βίῳ,
ὡς ἐμπρέπει Θεῷ ὑπακούουσι.

Θεοτοκίον

Ὡς πανάμωμος Κόρη,
Κύριον ὑπέραγνον σαρκὶ ἐγέννησας,
καὶ τὴν παρθενίαν,
ὡς καινὸν τρόπον βίου ἐδίδαξας·



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὅθεν δυσωποῦμεν,
τοὺς παρθενίᾳ ἐζευγμένους,
ἀμωμήτους παντὸς σπίλου τήρησον.

*ᾨδὴ Ϛ΄. Ἱλάσθητί μοι, Σωτήρ.*

Ποιμάνας θεοπρεπῶς,
τῆς Ταμασοῦ ποίμνην, ἅγιε,
εὐφραίνῃ νῦν οὐρανοῖς,
βλέπων Ἀρχιποίμενα,
πάτερ Μακεδόνιε,
Ὃν ἀεὶ δυσώπει,
ὑπὲρ πάντων τῶν τιμώντων σε.

Λυθεὶς τῶν βιοτικῶν,
τοῦ Μαχαιρᾶ κτίτωρ γέγονας,
καὶ εἶτα τῆς Ταμασοῦ,
κέκλησαι πρωτόθρονος,
Νεῖλε παμμακάριστε,
τύπος ποιμανσίας,
καὶ ἀσκήσεως γενόμενος.

Ἡρακλειδίου κλεινή,
ποίμνη εὐφραίνεται σήμερον,
τιμῶσα τὸν ἑαυτῆς,
πρώτιστον διδάσκαλον,
καὶ πόθῳ ἀσπάζεται,
αὐτοῦ θείαν κάραν,
ἣν ὡς ὄλβον μέγαν κέκτηται.

*Θεοτοκίον*

Θεὸς ὀφθεὶς ἐπὶ γῆς,
θεοὺς ἀνθρώπους ἐργάζεται,
τοὺς ὅσοι τὰς ἑαυτοῦ,
ἐντολὰς φυλάττουσιν·
ὅθεν ὡς αἰτίαν σε,

τοῦ τοιούτου πλούτου,
μακαρίζομεν, Πανάχραντε.

Κοντάκιον.
Ἦχος πλ.δ'. Τῇ Ὑπερμάχῳ.

Τῆς Ταμασοῦ τὰ ἱερὰ καρπολογήματα,
Ἡρακλειδίου τε τὰ θεῖα ἐκμιμήματα,
Ἱεράρχας τοὺς ποιμάναντας ἐν συνέσει,
τοὺς ἀθλήσει καὶ ἀσκήσει διαπρέψαντας,
συντιμήσωμεν βοῶντες ἐπινίκιον·
χαίροις, πάντιμε,
Ταμασέων δόξα ἄφθιτος.

**Ὁ Οἶκος**

Ἄμπελος καρποφόρος Ταμασέων ἡ πόλις γεγένηται Χριστῷ ἐγκεντρισθεῖσα· Ἀποστόλων γὰρ τὸ κήρυγμα ὧδε εἰς ἑκατὸν ἀπέδωκεν εὐχύμους βότρυας, ὧνπερ τὸν μεθυστικὸν τῆς ἁγιότητος οἶνον τὰ τέκνα τούτων πίνοντες φαιδρῶς ἀναβοῶμεν·

Χαῖρε, πάτερ Ἡρακλείδιε, ὁ ποιμὴν καὶ ἀθλητής,
Χαῖρε, Μνάσων θεοτίμητε, ὁ ἀρχαῖος μαθητής,
Χαῖρε, Ρόδων, ἀρεταῖς σου τοὺς πιστούς κατοσφράνας,
Χαῖρε, Μύρων, ὁ σὴν ποίμνην διδαχαῖς σου εὐφράνας,
Χαῖρε, ὦ Θεόδωρε, ἀσκητὰ ἱεράρχα,
Χαῖρε, ἅγιε Τύχων, Ταμασοῦ ποιμενάρχα,
Χαῖρε, θεῖε Ἐπαφρόδιτε, Παναγίαν τιμήσας,
Χαῖρε, ὅσιε Βασίλειε, ὥσπερ ἄγγελος ζήσας,
Χαῖρε, τὸν Χριστὸν ποθήσας, μάκαρ Δημητριανέ,
Χαῖρε, δόξα τῶν ποιμένων, Μακεδόνιε σοφέ,
Χαῖρε, ἐπισκόπων Κύπρου ὁ πρωτόθρονος Νεῖλος,
Χαῖρε, μάρτυς Ἀριστόκλεις, ὁ Δεσπότου μου φίλος
χαίροις Ταμασέων δόξα ἡ ἄφθιτος.

*Τὸ Συναξάριον*

**Τῷ Σαββάτῳ πρὸ τῆς Β ͅ Κυριακῆς τοῦ μηνὸς Ὀκτωβρίου ἑορτάζομεν τὴν Σύναξιν πάντων τῶν Ἁγίων τῶν πάλαι διαλαμψάντων ἐν Ταμασῷ τῆς ἐν Κύπρῳ .**

Στίχοι
*Οἱ Ταμασοῦ Ἅγιοι, ψυχαῖς βαλόντες,*
*Μῖσος κόσμου, εὕρατε Θεοῦ ἀγάπην.*

*Ὁμόσε κυδαίνομεν ὕμνοισι χριστοκλέας Ταμασοῦ.*
*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*
*Ὠιδὴ ζ΄. Παῖδες ἑβραίων.*

Ὕμνοις τιμῶμέν σε, ὦ Μνάσων,
μαθητὴν τοῦ Χριστοῦ,
καλούμενον ἀρχαῖον,
καὶ κλεινὸν συνεργόν,
σεπτοῦ Ἡρακλειδίου,
φανέντα καὶ διάδοχον,
ἀξιάγαστον ἐν πᾶσι.

Νίκην νικήσας ὑπερτάτην,
ὦ Θεόδωρε,
σατάν, σαρκὸς καὶ κόσμου,
ποιμενάρχης σοφός,
τῆς Ταμασοῦ ἐδείχθης,
τὴν χλαῖνα καταβάψας σου,
ἐν ἀσκήσεως ἱδρῶσιν.

Ἄλλου σε κήπου θεῖον ῥόδον,
Ῥόδων, ἔγνωμεν,
εὐφράναντα τοῖς ἄθλοις,
Ταμασοῦ τοὺς πιστούς,
οὓς πρὸς Χριστὸν τὸ μῦρον,

τὸ ὄντωςπ πολυτίμητον,
καθωδήγησας σοῖς λόγοις.

*Θεοτοκίον*

Νοῦν ἀφιστάμενον τῆς μνήμης,
τοῦ Δεσπότου μου,
συγκράτησον εὐχαῖς σου,
Θεοτόκε ῾Αγνή,
καὶ δὸς ἀδιαλείπτως,
Αὐτὸν ἐπικαλεῖσθαί με,
ἐν νυκτί τε καὶ ἡμέρᾳ.

*᾿Ωιδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.*

῎Εχρισέ σε Χριστὸς τῷ θείῳ μύρῳ,
Μύρων πάτερ ἡμῶν,
ποιμένα ἀναδείξας,
τῶν Ταμασέων ἔνθα καὶ ἐνήθλησας,
τῷ πυρὶ γενναίως,
ὡς πεπυρωμένος,
τῷ ἔρωτι τῷ θείῳ.

῞Υμνοις στέφω ᾿Αριστοκλῆν τὸ κλέος,
ἀθλητὴν Ταμασοῦ,
καὶ μάρτυρα ἀνδρεῖον,
ὃς τοῦ Χριστοῦ κηρύξας τὴν θεότητα,
πλάνην τῶν εἰδώλων,
ἤλεγξε γενναίως,
ἐν πόλει Σαλαμῖνος.

Φύσιν θείαν τοῦ Πνεύματος, ὦ Τύχων,
ἐν Συνόδῳ εἰπών,
αἱρέσει ἐξανέστης,
καὶ Ταμασεῖς ἐν ὕδατι ἐπότισας,
τῆς ᾿Ορθοδοξίας,
Πνεύματος ῾Αγίου,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

φανεὶς ἐμπεπλησμένος.

*Θεοτοκίον*

Ἥν περ πλάνην Νεστόριος κηρύξας,
Χριστοτόκον εἰπών,
σὲ οὖσαν Θεοτόκον,
ἐν τῇ Ἐφέσῳ θεῖος Ἐπαφρόδιτος,
σὺν λοιποῖς πατράσιν,
ἤλεγξεν ὡς πλάσιν,
ὀθνείαν διαβόλου.

*Ὠιδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Μιμούμενος, Βασίλειε, Βαπτιστήν,
τὸν σὸν βίον ἐρήμοις διήνυσας, καὶ ἐν εὐχαῖς,
θείαις ὁπλισάμενος ἱερῶς,
τὴν Ταμασὸν ἐποίμανας,
πόλιν τὴν οὐράνιον ἐκζητῶν,
διὸ καὶ ἀφθορίᾳ,
Χριστὸς ἐτίμησέ σου,
μετὰ θανὴν ἅγιον λείψανον.

Ἠγάπησας ἐκ βρέφους τὸν Ἰησοῦν,
Οὗ ἐγένου ποιμὴν ἱερώτατος, ἐν Ταμασῷ,
Δημητριανέ, πάντας νουνεχῶς,
διδάσκων καὶ τῷ βίῳ σου,
τούτους ὑπαλείπτων τῷ ἱερῷ·
ὅθεν τοὺς ὕμνους δέξαι,
οὓς νῦν προσάγομέν σοι,
ὥσπερ εὐγνώμονα ἀντίδοσιν.

Σωτῆρος ἀνεδείχθης εἰκὼν λαμπρά,
καὶ κανὼν ἁγιότητος τέκνοις σου, ἱεραρχῶν,
κλέος, Μακεδόνιε, Ταμασοῦ,
πρὸς ὃν νῦν ἀτενίζοντες,
δέησιν προσάγομεν τεκνικήν·

ἱκέτευε Δεσπότην,
ὅπως τῆς Βασιλείας,
καταξιώσῃ τοὺς τιμῶντάς σε.

Ὡς πρῶτος τῶν ἐν Κύπρῳ ἱεραρχῶν,
πρῶτος,Νεῖλε, Χριστὸν καταμείλιξον, ὑπὲρ ἡμῶν,
ἵνα δελεάσματα τοῦ ἐχθροῦ,
τὰ ψυχοφθόρα φύγωμεν,
καὶ πολιτευθῶμεν ὡς ἱερῶν,
Πατέρων κληρονόμοι,
καὶ τέκνα τῶν τὴν Νῆσον,
ἀναδειξάντων τόπον ἅγιον.

*Θεοτοκίον*

Ἀγκάλας σου ὑπάνοιξον μητρικάς,
τοῖς Κυπρίοις, Πανάχραντε Δέσποινα, καὶ εὐμενῶς,
πρόσδεξαι αἰτήματα τῶν ψυχῶν,
ἅπερ Χριστῷ παράστησον,
λύσιν ἐκζητοῦσα τὴν ὠφελῆ·
ἐν ὥρᾳ δὲ ἐσχάτῃ,
σὺν Νήσου τοῖς Ἁγίοις,
γενοῦ ἡμῶν μεσῖτις, Πάναγνε.

Ἐξαποστειλάριον
*Ἦχος Β'. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Εὐαγγελίου λάμψεσι,
πλάνην τὴν τῶν εἰδώλων,
τῆς Ταμασοῦ ἠλάσατε,
καὶ ἐν θαύμασι πλείστοις,
παρὰ Χριστοῦ τιμηθέντες,
ἐποιμάνατε θείως,
τὴν ποίμνην ὑμῶν, Ἅγιοι,
μιμηταὶ γεγονότες, τοῦ Ἰησοῦ,
Ὃν καθικετεύετε ὑπὲρ ὅσοι,
τὴν μνήμην τὴν σεβάσμιον,

τὴν ὑμῶν ἐκτελοῦσι.

*Θεοτοκίον, ὅμοιον*

Ἁγίους συμπαράλαβε,
Θεοτόκε Παρθένε,
τοὺς νῆσον ἁγιάσαντας,
Κύπρον καὶ τὸν Δεσπότην,
εἰς εὐσπλαγχνίαν κινεῖτε,
τῶν πιστῶς αἰτουμένων,
ὑμῶν σεπτὴν παράκλησιν,
καὶ εὐχὰς ἱκεσίους, ἵνα ὁδόν,
βίου ἐκπεράσωμεν ἐν εἰρήνῃ,
καὶ τύχωμεν θεώσεως,
ἐν ἡμέρᾳ ἐσχάτῃ.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ψάλλομεν στιχηρὰ προσόμοια δ' τῶν Ἁγίων.*
*Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.*

Ἀποστόλων τοῖς ῥήμασι,
τῷ Χριστῷ, πάτερ, ἥρμοσαι,
διὰ τοῦ βαπτίσματος,
Ἡρακλείδιε·
υἱὸς φωτὸς δὲ γενόμενος,
τὸ σκότος ἀπήλασας,
πόῤῥω ἀπὸ Ταμασοῦ,
ἧς ὁ πρῶτος ἐπίσκοπος ἀναδέδειξαι,
καὶ κανὼν τῶν σεπτῶν σου διαδόχων,
εἰληφὼς καὶ θεῖον στέφος,
τοῦ μαρτυρίου τοῦ αἵματος.

Βακτηρίᾳ τοῦ Πνεύματος,
τοὺς πιστοὺς ὡδηγήσατε,
πρὸς νομὴν τὴν μένουσαν καὶ αἰώνιον,
ἣν ὁ Δεσπότης χαρίζεται,

τοῖς ὅσοι προσέρχονται,
μετὰ πίστεως πολλῆς,
καὶ ἁπλότητι ζέσεως,
ἧς μετέσχετε,
Ταμασοῦ ἱεράρχαι θεοφόροι,
οἱ ἀθλήσαντες γενναίως,
ἔν τε ἀσκήσει καὶ αἵματι.

Τὴν τῆς πλάνης ἐνέργειαν,
τοὺς πιστοὺς τὴν σκοτίζουσαν,
θεοσόφοις ῥήμασι καὶ διδάγμασιν,
ὑμῶν, Πατέρες μακάριοι,
ψυχῶν ἐδιώξατε,
τοῦ ποιμνίου Ταμασοῦ,
ὅπερ κλῆρον ὁ Κύριος,
ὑμῖν δέδωκε ·
διὸ νῦν ἀληθείᾳ ἐντρυφῶντες,
οὐρανίων σκηνωμάτων,
ὑμῶν τῶν τέκνων μιμνήσκεσθε.

Ταῖς μερίμναις βαρούμενοι,
πρὸς ὑμᾶς καταφεύγομεν,
Ταμασοῦ ποιμένες θεομακάριστοι,
καὶ ἐκζητοῦμεν· ἀνάψατε,
τὸν ζῆλον τὸν ἔνθεον,
ταῖς ψυχαῖς ἡμῶν ταχύ,
καὶ εἰδώλων τὰ ξόανα,
κατακαύσατε,
καθιστῶντες ἡμῖν ἀδιασείστως,
τὸν Χριστὸν ὡς βασιλέα,
τὸν ἀγαθὸν καὶ φιλάνθρωπον.

*Δόξα. Ἦχος Πλ.δ΄.*

Ὡς ἀποστολικῆς σπορᾶς ἁγιοφόρος ἀνάδοσις,
τὰ εἰδωλικὰ ζιζάνια ὁλοτελῶς ἠφανίσατε ,
καὶ τῇ ἐκχύσει τιμίων αἱμάτων καὶ ἀσκητικῶν ἱδρώτων,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ηὐξήσατε τὸ δένδρον τῆς Ἐκκλησίας, Ἅγιοι τῆς Ταμασοῦ.
Ὅθεν ὡς ἱερομάρτυρας, μάρτυρας καὶ ἱεράρχας
συντιμῶντες ὑμᾶς, αἰτούμεθα κράζοντες·
τηρήσατε ἐν τῇ ἀγάπῃ τοῦ Κυρίου,
εἰρηνεύουσαν καὶ ἁγιαζομένην τὴν Κύπρον,
ὅπως δοξάζῃ τὸν ὑμᾶς ὑπερφυῶς δοξάσαντα.

*Καὶ νῦν. Δέσποινα, πρόσδεξαι.*
*Δοξολογία μεγάλη.*

Εἰς τὴν Θ.Λειτουργίαν·
**Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ ἁγ. Δημητρίου**

*Μεγαλυνάριον*

Ὦ Παυλοβαρνάβιε Ταμασοῦ,
σύναξις Ἁγίων,
ἱκετεύσατε τῷ Χριστῷ,
σὺν λοιπῇ πληθύϊ,
ἁγιασάσῃ Κύπρον,
ὅπως τὴν σωτηρίαν,
δῷ ἡμῖν ἅπασιν.

*Στίχοι*
*Ἁγιασμὸν παράσχετε τοῖς τιμῶσιν,*
*Ὑμᾶς, Ἅγιοι, τῆς Ταμασοῦ ἐν Κύπρῳ.*